Ἀλλὰ τὸ τετραγωνίζειν τὸν κύκλον οὐδὲν ἄλλο ἐστὶν ἢ εὑρίσκειν γραμμὴν εὐθεῖαν, ἴσην τῇ περιφερεῖ, καὶ τοῦτό ἐστιν ἀδύνατον, ὡς εἴρηται. Ἀδύνατον ἄρα τετραγωνίσαι τὸν κύκλον. Ὅθεν καὶ πάντες οἱ πειραθέντες τετραγωνίσαι σοφιστικῶς τοῦτο ποιοῦσιν, ὡς ὁ Φιλόσοφος ἐν τοῖς ἐλέγχοις δείκνυσιν.

## Ὁμοίως δέ.

Τίθησι τὴν δευτέραν ἔνστασιν ἀπὸ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ, ὧν ἀναφορικῶς λεγομένων προηγεῖται τὸ αἰσθητόν, καὶ δείκνυσι τοῖς αὐτοῖς οἷς καὶ τὴν προτέραν ἔνστασιν κατεσκεύαζεν. Εἰ γὰρ μὴ ἔστι, φησίν, αἰσθητόν, οὐδὲ αἴσθησίς ἐστιν· εἰ δὲ μὴ ἔστιν αἴσθησις, δύναται εἶναι αἰσθητόν· τὸ αἰσθητὸν ἄρα πρότερον τῆς αἰσθήσεως. Καὶ ὅτι ἑκά-
f. 114ᵛ τερον τούτων | ἐστὶν ἀληθές, δείκνυσιν. Ἀναιρεθέντος γάρ, φησίν, αἰσθητοῦ, ἀναιρεῖται σῶμα, διότι περὶ τὸ σῶμα καὶ ἐν τῷ σώματι εἰσὶν αἱ αἰσθήσεις· ἀναιρεθέντος δὲ τοῦ σώματος, ἀναιρεῖται ἡ αἴσθησις· καὶ πάλιν, ἀναιρεθέντος τοῦ ζῴου, ἀναιρεῖται ἡ αἴσθησις, τὸ δὲ αἰσθητὸν οὐκ ἀνῄρηται· μένουσι γὰρ τὰ δεύτερα αἰσθητά, οἷον σῶμα, θερμόν, γλυκύ, πικρὸν καὶ πάντα τὰ αἰσθητά. Ἐπάγει δὲ καὶ δεύτερον λόγον πρὸς ἀπόδειξιν τοῦ αὐτοῦ, καὶ ἔστιν ὁ λόγος ἀπὸ τοῦ μᾶλλον ἐπιχειρῶν, ἢ ἀπὸ τοῦ ὁμοίου· εἰ γὰρ ἅμα, φησίν, ἐστὶν αἴσθησις καὶ αἰσθητικόν, ἅμα ἐστὶν αἴσθησις καὶ ζῷον, ὥστε εἴ τι πρότερόν ἐστι τοῦ ζῴου, πρότερόν ἐστι τῷ αὐτῷ λόγῳ καὶ τῆς αἰσθήσεως· δυοῖν γὰρ ὄντων ἅμα, εἴ τι ἐστὶ πρότερον τοῦ ἑτέρου τούτων, καὶ τοῦ λοιποῦ τοῦτο πρότερον ἔσται. Ἀλλὰ τὸ αἰσθητὸν ἐστὶ πρότερον τοῦ ζῴου· καὶ τῆς αἰσθήσεως ἄρα. Ὅτι δέ ἐστι τὸ αἰσθητὸν πρότερον τοῦ ζῴου, δείκνυσιν οὕτως. Τὰ ἐξ ὧν τι συνίσταται πρότερά εἰσι τοῦ ἐξ αὐτῶν συγκειμένου· ἀλλὰ τὸ ζῷον συνίσταται ἐκ πυρὸς καὶ ὕδατος καὶ τῶν τοιούτων· τὸ πῦρ ἄρα καὶ τὸ ὕδωρ εἰσὶ πρότερα τοῦ ζῴου· ταῦτα δέ εἰσιν αἰσθητὰ πρῶτα διὰ τὰς ἐν αὐτοῖς πρώτας ποιότητας αἰσθητάς· τὸ αἰσθητὸν ἄρα ἐστὶ πρότερον τοῦ ζῴου. Εἶπε δὲ τὸ πῦρ μάλιστα καὶ τὸ ὕδωρ εἶναι ἐξ ὧν συνίσταται τὸ ζῷον ἢ διὰ τὸ ἐν τούτοις μάλιστα συνεστηκέναι τὴν τοῦ ζῴου ζωήν, ἢ διὰ τὸ μάλιστα εἶναι ταῦτα αἰσθητά, ἢ διὰ τούτων περιλαμβάνων καὶ τὰ λοιπά, διότι ἐκεῖνα ὥσπερ μεταξὺ τούτων εἰσὶ ταῖς ποιότησιν, εἰ καὶ πρὸς ἄλληλα τὴν ἀντίθεσιν ἄκραν ἔχουσιν, ὥσπερ καὶ ταῦτα· πυρὶ μὲν γὰρ ἀνθέστηκεν ὕδωρ, ἀερὶ δὲ γῆ.

## Ζητήματα.

Περὶ τοῦτο τὸ μέρος, δύνανται ζητεῖσθαι πλείω, ἀλλὰ τῆς συντομίας φροντίζοντες, ὀλίγα ζητήσομεν.

Πρῶτον τοίνυν ζητεῖν δεῖ εἰ ἀληθῶς ἔστιν ἐν τοῖς πρός τι ἐναντιότης, τουτέστιν εἰ καλῶς ἡ πρώτη ἰδιότης ἐτίθετο· καὶ δοκεῖ μὴ καλῶς ταύτην

Ε.Υ.Π. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τεθεῖσθαι· πρῶτον μέν, ὅτι τοὐναντίον ἔλεγεν ἐν τοῖς περὶ ποσοῦ ὁ Φιλόσοφος· ἔλεγε γὰρ ὅτι ὅπερ ἐστὶν ἐν μόνῃ τῇ πρὸς ἕτερον ἀναφορᾷ, τούτῳ οὐδέν ἐστιν ἐναντίον· τὸ γάρ· „Πῶς ἂν εἴη τούτῳ | τι ἐναντίον;“ f. 115 οὐδὲν ἄλλο βούλεται ἢ ὅτι οὐδενὶ τρόπῳ.

Ἔτι, τῷ ἑνὶ τῶν ἀναφορικῶν ἕπεται τὸ λοιπόν. Ἀλλὰ θατέρῳ τῶν ἐναντίων οὐχ ἕπεται θάτερον. Ἄρα, καὶ τὰ λοιπά.

Ἀλλὰ δεῖ λέγειν πρὸς τοῦτο, ὅτι ἡ ἐναντιότης διχῶς λαμβάνεσθαι δύναται· κυρίως καὶ καθ' αὑτό, ἢ κοινῶς καὶ κατὰ συμβεβηκός. Κατὰ μὲν οὖν τὸν πρῶτον τρόπον οὐκ ἔστιν ἡ ἐναντιότης ἐν τοῖς πρός τι, ἤγουν κυρίως καὶ καθ' αὑτὴν λεγομένη, διότι ἐναντία κυρίως λεγόμενά εἰσιν τὰ ἐν τῷ αὐτῷ γένει πλεῖστον ἀλλήλων διεστηκότα καὶ ἐν τῷ αὐτῷ δεκτικῷ ἐνυπάρχοντα κατὰ διαδοχήν, εἰ μὴ τὸ ἕτερον ἐνυπάρχοι φύσει· ἐν δὲ τοῖς πρός τι οὐκ ἔστι τοιαύτη διάστασις καθ' αὑτήν, διότι ἡ τοιαύτη διάστασις ἐστὶν ὅπου ἐστὶ κίνησις, ἐν δὲ τοῖς πρός τι οὐκ ἔστι κίνησις.

Κατὰ δὲ τὸν δεύτερον τρόπον λεγομένη, ἡ ἐναντιότης ἐστὶν ἐν τοῖς πρός τι, τουτέστιν οὐ κυρίως καὶ ἐξηπλωμένως, διότι ὅλον τὸ εἶναι τῶν ἀναφορικῶν ἤρτηται τοῦ ἰδίου θεμελίου, τινὰ δὲ ἀναφορικὰ θεμελιοῦνται ἐπὶ τῶν ἐναντίων, οἷον τὸ ὅμοιον καὶ ἀνόμοιον θεμελιοῦνται ἐπὶ τοῦ λευκοῦ καὶ μέλανος, καὶ θερμοῦ καὶ ψυχροῦ, καὶ ὅλως τῶν ποιῶν ἃ εἰσιν ἐναντία. Καὶ διὰ τοῦτο τὸ ὅμοιον καὶ ἀνόμοιόν εἰσιν ἐναντία κατὰ συμβεβηκός· εἰσὶ γὰρ ἐναντία τῷ λόγῳ τῆς ἐναντιότητος, ἥτις ἐστὶν ἐν τῷ θεμελίῳ αὐτῶν.

Καὶ ἄλλως δὲ τὸ αὐτὸ δείκνυται, ὅτι ἐν παντὶ γένει ἐστὶ μία πρώτη ἐναντιότης ἐν ταῖς διαφοραῖς ταῖς διαιρούσαις τὸ γένος. Ἡ δὲ ἀναφορά ἐστι γένος. Ἔστιν ἄρα ἐν τῇ ἀναφορᾷ ἡ τοιαύτη ἐναντιότης· ἡ δὲ ἐν ταῖς διαφοραῖς ἐναντιότης ἐκτείνεται πρὸς τὴν ἐναντιότητα, ἥτις ἐστὶ μεταξὺ τοῦ τελείου καὶ ἀτελοῦς, καὶ ἔστιν ἐναντιότης οὐ κυρίως λεγομένη· ἐν παντὶ γὰρ γένει μία διαφορὰ καὶ ἓν εἶδός ἐστι μᾶλλον τέλειον ἑτέρου ἧττον τελείου. Διὰ τοῦτο ἐν τῇ ἀναφορᾷ ἔστιν ἐναντιότης οὐ κυρίως λεγομένη.

Τότε πρὸς τὰ ἐπιχειρήματα λέγω· πρὸς μὲν τὸ πρῶτον, ὅτι ὁ Φιλόσοφος νοεῖ ἐκεῖ, ὅτι τῷ πρὸς ἕτερον ἀναφερομένῳ οὐκ ἔστιν ἐναντίον καθ' αὑτό· ἢ δυνατὸν λέγειν, ὅτι τὰ ἀναφερόμενα οὐκ εἰσὶν ἀλλήλοις ἐναντία, οἷον πατὴρ υἱῷ οὐκ ἔστιν ἐναντίον, οὐδὲ ἀρετὴ καὶ ἐνάρετος· | εἰσὶ μέντοι γε τὰ πρός τι ἐναντία ἄλλοις τισὶ παρ' ἐκεῖνα πρὸς ἃ ἀνα- f. 115v φέρονται, οἷον ἡ ἀρετὴ τῇ κακίᾳ. Ἐντεῦθεν λύεται καὶ τὸ δεύτερον ἐπιχείρημα· τῷ γὰρ ἑτέρῳ τῶν ἀναφορικῶν ἕπεται τὸ λοιπόν· δύναται μέντοι τὸ ἀναφορικὸν ἐκεῖνο ἔχειν καί τι ἐναντίον, ὅπερ αὐτῷ οὐχ ἕπεται· τῇ

4 ὅτι om C   35 ἀλλήλοις τισί B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

μὲν γὰρ ἀρετῇ ἕπεται ὁ σπουδαῖος ἢ ὁ ἐνάρετος, ἀλλ' οὐχ ἕπεται ἡ κακία, ἥτις ἐστὶν ἀντικείμενον αὐτῇ.

Δεύτερον, ζητεῖται περὶ τῆς δευτέρας ἰδιότητος. Δοκεῖ γὰρ οὐ καλῶς λέγεσθαι ἐν αὐτῇ, ὅτι τὸ ἴσον καὶ ἄνισον ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον· τὸ γὰρ ἄνισον ἐστὶν ἀποτέλεσμα τῆς ποσότητος· ἡ δὲ ποσότης οὐκ ἐπιδέχεται τὸ μᾶλλον καὶ ἧττον· οὐδὲ τὸ ἄνισον ἄρα ἐπιδέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον. Ἀλλὰ πρὸς τοῦτο δεῖ λέγειν, κατὰ τὸν Βοήτιον, ὅτι, εἰ καὶ τὸ ἴσον καὶ ἄνισον ἴδιόν ἐστι τῆς ποσότητος, οὐ μέντοι γε ἕπεται, ὅτι εἰσὶ ποσότητες· τὸ γὰρ ἴδιον οὐκ ἔστι ταὐτὸν τῷ οὗ ἐστιν ἴδιον, ἀλλ' ἔστι ποιότης καὶ πάθος αὐτοῦ ἐξωτερικόν, καὶ διὰ τοῦτο, ἐπεὶ ἡ ποιότης δέχεται τὸ μᾶλλον καὶ τὸ ἧττον, καὶ τὸ ἴσον καὶ ἄνισον καθὸ ἐστι ποιότης τῆς ποσότητος ἐπιδέχεσθαι δύναται τὸ μᾶλλον καὶ τὸ ἧττον. Ὥσπερ οὖν ἡ ἐναντιότης ἔστιν ἐν τῇ ἀναφορᾷ κατὰ συμβεβηκός, ὡς προείρηται, οὕτω καὶ τὸ μᾶλλον καὶ τὸ ἧττον ἐν αὐτῇ κατὰ συμβεβηκός ἐστι, καὶ οὐ κυρίως καὶ καθ' αὑτό· ὥστε τὸ ἴσον καὶ ἄνισον τῶν πρός τί ἐστι κατὰ τὸ λέγεσθαι. Ἀλλὰ κατὰ τὸ ἴδιον εἶναι ἐστὶ ποιότης, καὶ οὕτως, ἐπεὶ ἡ ποιότης δέχεται τὸ μᾶλλον καὶ ἧττον, καὶ τὸ ἴσον καὶ ἄνισον καθ' αὑτὸ μὲν ᾗ ποιότης, κατὰ συμβεβηκὸς δὲ ᾗ ἀναφορικά, δέχονται τὸ μᾶλλον καὶ τὸ ἧττον.

Τρίτον, ζητεῖται περὶ τῆς τρίτης ἰδιότητος εἰ καλῶς τέθειται· δοκεῖ γὰρ ὅτι οὐ καλῶς, διότι τέθειται ὡς ἀντιστρέφουσα καὶ ἐξισάζουσα ἰδιότης, καὶ οὐχ οὕτως ἐστίν· ὑπάρχει γὰρ καὶ ἄλλοις τισί· καὶ γὰρ τὸ ἴδιον ἀντιστρέφει πρὸς τὸ ὑποκείμενον, οἷον τὸ γελαστικὸν πρὸς τὸν ἄνθρωπον, καὶ ὁ ὁρισμὸς πρὸς τὸ ὁριστόν· ἀντιστρέφει καὶ ἡ πρότασις, ὡς δειχθήσεται ὕστερον. Ἀλλὰ δεῖ πρὸς τοῦτο λέγειν, ὅτι ἡ ἀντιστροφὴ
f. 116 πολλαχῶς γίνεται· ἑνὶ μὲν τρόπῳ, | ὅταν δύο τινὰ ἀναφέρωνται πρὸς τὸ αὐτὸ τῷ ἀριθμῷ τὸ πρᾶγμα, ὥσπερ ἀντιστρέφει τὸ ἴδιον καὶ τὸ ὑποκείμενον, καὶ ὁ ὁρισμὸς καὶ τὸ ὁριστόν· ἑτέρῳ δὲ τρόπῳ, ὅταν δύο ὅροι κατὰ διάφορον σχέσιν διαφόρως μεταβάλλωσιν εἰς ἀλλήλους κατὰ τὸ κατηγορεῖσθαι καὶ ὑποκεῖσθαι, καὶ οὕτως ἀντιστρέφουσιν αἱ προτάσεις. Ἄλλῳ δὲ τρόπῳ γίνεται ἡ ἀντιστροφή, ὅταν θατέρῳ τῶν πρὸς ἄλληλα ἀναφερομένων ἀκολουθῇ τὸ λοιπὸν κατά τινα λέξιν ἀκολουθητικήν, οἷον εἰ ἔστι πατήρ, ἔστι καὶ υἱός, καὶ τὸ ἀνάπαλιν· καὶ εἰ ἔστι διπλάσιον, ἔστιν ἥμισυ, καὶ τὸ ἀνάπαλιν· καὶ τοῦτον τὸν τρόπον ἀντιστρέφουσι μόνα τὰ ἀναφορικά, καὶ κατ' οὐδένα τῶν ἄλλων τρόπον· οὔτε γὰρ ἀναφέρονται πρός τι πρᾶγμα ταὐτὸν ἀριθμῷ, οὔτε μεταβάλλουσιν εἰς ἄλληλα κατὰ τὸ κατηγορεῖσθαι καὶ ὑποκεῖσθαι.

Ἰστέον δὲ ὅτι τοῦ διαφόρως ἀποδίδοσθαι τὰ ἀναφορικὰ ἀλλήλοις κατὰ

---

4 *οὐκ* après *ἄνισον* add BC, gratté dans A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὴν λέξιν αἰτία ἐστίν, ὅτι ἔνια τῶν ἀναφορικῶν διάφορον σχέσιν ἔχουσι πρὸς ἄλληλα· ὥσπερ ἡ ἐπιστήμη ἕξις ἐστὶ τοῦ ἐπιστητοῦ, καὶ διὰ τοῦτο ἀναφέρεται πρὸς αὐτὸ γενικῇ πτώσει· τὸ δὲ ἐπιστητὸν ὥσπερ εἶδος καὶ τελειότητα ἔχει τὴν ἐπιστήμην, καὶ ἡ τοιαύτη παράθεσις δοτικῇ σημαίνεσθαι εἴωθεν, ὥσπερ λέγομεν τὸν ἄνθρωπον ἀνθρωπότητι εἶναι ἄνθρωπον, καὶ τὸ λευκὸν λευκότητι· καὶ διὰ τοῦτο τὸ ἐπιστητὸν ἀναφέρεται πρὸς τὴν ἐπιστήμην δοτικῇ πτώσει.

Τέταρτον, ζητεῖται περὶ τῆς τετάρτης ἰδιότητος εἰ καλῶς λέγεται· δοκεῖ γὰρ μὴ καλῶς, διότι τὸ πρότερον καὶ ὕστερον εἰσὶ πρός τι, οὐκ εἰσὶ δὲ ἅμα τῇ φύσει, ὡς αὐτόθεν δῆλόν ἐστιν.

Ἔτι, ἡ αἰτία καὶ τὸ αἰτιατὸν οὐκ εἰσὶν ἅμα τῇ φύσει, καὶ ὅμως εἰσὶν ἀναφορικά.

Ἔτι, ὁ πατὴρ καὶ ὁ υἱὸς οὐκ εἰσὶν ἅμα τῇ φύσει, καὶ ὅμως τυγχάνουσιν ἀναφορικά.

Ἀλλ' εἰς τοὐναντίον ἀρκεῖ τὸ τοῦ Φιλοσόφου ἀξίωμα.

Πρὸς τὸ ζήτημα τοίνυν δεῖ λέγειν, ὅτι τὰ ἀναφορικά εἰσιν ἅμα τῇ φύσει, τουτέστι κατὰ τὸ εἶναι τὸ ἀναφορικόν, καθὰ τῷ Ἀλβέρτῳ δοκεῖ· καὶ τούτου αἰτία ἐστὶν ὅτι, ὁπόταν ᾖ τι ἀναφορικόν, εὐθὺς δεῖ εἶναι καὶ τὸ πρὸς ὃ ἂν ἀναφέροιτο τοῦτο καὶ ὃ ὁρίζοι ἂν τὴν τοῦ ἀναφορικοῦ σχέσιν, διότι ἐν τοῖς ἀνα|φορικοῖς (f. 116v) τοῖς πρὸς ἄλληλα ἀμοιβαίως ἀναφερομένοις εἰ τὸ ἕν ἐστιν, ἀνάγκη καὶ τὸ λοιπὸν ὑπάρχειν ἐν τῷ ἀναφορικῷ εἶναι. Εἰ τοίνυν θάτερον τῶν ἀναφορικῶν ἔστιν, ἀνάγκη καὶ τὸ ἀνταναφερόμενον αὐτῷ εἶναι, ἐν ᾧ στήσεται ἠρτημένον αὐτό, ἐπεὶ ὅλον τὸ εἶναι τοῦ ἀναφορικοῦ ἐστιν ἡ σχέσις εἴτουν ἡ ἐξάρτησις ἡ πρὸς ἄλλο, ὡς ἐκ τοῦ δευτέρου ὁρισμοῦ τῶν πρός τι δῆλον ἔσται. Ἐντεῦθεν δὲ δήλη καὶ ἡ πρὸς τὰ ἐπιχειρήματα λύσις. Ἕκαστον γὰρ τῶν προειρημένων, ἐξ ὧν ἦν ἡ ἐπιχείρησις, ὅσον μὲν πρὸς τὸ πρᾶγμα ὅπερ ὑπόκειται τῇ ἀναφορᾷ καὶ ὅπερ εἰσὶν ἐν τῇ ἰδίᾳ οὐσίᾳ, οὐκ ἔστιν ἅμα τῇ φύσει μετὰ τοῦ πρὸς ὃ ἀναφέρεται· ἀλλ' ὅσον πρὸς τὸ εἶναι τὸ ἀναφορικόν, εἰσὶν ἅμα τῇ φύσει· αὐτίκα γὰρ ὄντος προτέρου, δεῖ καὶ τὸ ὕστερον εἶναι πρὸς ὃ ἂν ἀναφέροιτο· καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως.

Πέμπτον, ζητεῖται περὶ τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ εἰ καλῶς λέγεται ὅτι, ἀναιρουμένου τοῦ ἐπιστητοῦ, ἀναιρεῖται καὶ ἡ ἐπιστήμη. Δύναται γοῦν καὶ ἡ κατάφασις καὶ ἡ ἀπόφασις ἀποδείκνυσθαι.

Ἡ μὲν κατάφασις οὕτως· πρῶτον μέν, ὅτι ὁ Φιλόσοφος οὕτως ἐν τῷ γράμματι λέγει, καὶ ἀρκεῖ τὸ τούτου ἀξίωμα· δεύτερον, ὅτι, ὡς αὐτός φησιν ἐν τῷ πρώτῳ τῶν Ὑ σ τ έ ρ ω ν, τὸ μὴ ὂν οὐκ ἔστιν ἐπίστασθαι, τὸ δὲ ἐπιστητὸν ἀναιρούμενον οὐκ ἔστιν· οὐδ' ἄρα ἔστιν αὐτὸ ἐπίστασθαι·

---

8 *λέγεται* en marge et *τέθειται* dans le texte B

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

τρίτον, ὅτι, τῆς αἰτίας ἀναιρουμένης, ἀναιρεῖται τὸ ἀποτέλεσμα· ἀλλ' ἡ ἐπιστήμη ἐστὶν ἀποτέλεσμα τοῦ ἐπιστητοῦ, λέγω δὲ ἡ ἡμετέρα· ἡ γὰρ θεία ἐπιστήμη μᾶλλον αἰτία τῶν πραγμάτων ἐστίν.

Ἡ δὲ ἀπόφασις οὕτω δείκνυται· πρῶτον μέν, ὅτι ὁ Φιλόσοφος παραδίδωσιν ἡμῖν ἐν τῷ βιβλίῳ τῶν Μετεώρων ἐπιστήμην περὶ ὑετοῦ καὶ χαλάζης· ταῦτα δὲ ἀεὶ οὐκ εἰσίν· εἰ τοίνυν, ἀναιρουμένου τοῦ ἐπιστητοῦ, ἀναιρεῖται ἡ ἐπιστήμη, τὸ βιβλίον ἐκεῖνο τῶν μετεώρων ἦν ἂν μάταιον, ὅπερ ἄτοπον.

Ἔτι, περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου καὶ τῆς σελήνης ἔστιν ἐπιστήμη, καὶ ὅμως ἡ ἔκλειψις τοῦ ἡλίου καὶ τῆς σελήνης οὐκ εἰσίν.

Ἔτι, μένοντος τοῦ αὐτοῦ ὁρισμοῦ τοῦ πράγματος, μένει καὶ ἡ αὐτὴ ἐπιστήμη περὶ τοῦ πράγματος. Ἀλλὰ φθειρομένου τοῦ πράγματος, μένει
f. 117 ὁ ὁρισμὸς τοῦ πράγματος, | ὃς ἦν καὶ πρότερον. Φθειρομένου ἄρα τοῦ πράγματος οὗ ἐστιν ἡ ἐπιστήμη, μένει ἡ αὐτὴ ἐπιστήμη. Ἡ μείζων ἐστὶ φανερά, διότι ὁ ὁρισμός ἐστιν ἀρχὴ τῆς ἐπιστήμης· ἔστι γὰρ μέσον ἐν τῇ ἀποδείξει· τὸ δὲ ἐν τῇ ἀποδείξει μέσον ἐστὶν ἀρχὴ τῆς ἐπιστήμης, διότι ἀπόδειξίς ἐστι συλλογισμὸς ποιῶν ἐπίστασθαι, ὡς ἐν τῷ πρώτῳ τῶν Ὑστέρων λέγεται. Ἡ ἐλάττων δείκνυται, ὅτι ὁ ὁρισμὸς οὐ λέγει εἶναι, ἢ μὴ εἶναι τὸ πρᾶγμα, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ πρώτῳ τῶν Ὑστέρων. Ὁ ὁρισμὸς ἄρα ὀφείλεται τῷ πράγματι ὡσαύτως καὶ ὄντι καὶ μὴ ὄντι. Ὅθεν, καὶ δοθέντος τοῦ ὄμβρον μὴ εἶναι, ἔστιν ὁρισμὸς τοῦ ὄμβρου, οὗτος τυχόν· ὄμβρος ἐστὶν ὕδωρ ἀπὸ τῶν νεφῶν ῥηγνυμένων κατὰ σταγόνα πίπτον.

Πρὸς τοῦτο τοίνυν τὸ ζήτημα δεῖ λέγειν, ὅτι διάφοροι μὲν διαφόρως ἐδόξασαν. Οἳ μὲν γὰρ προσέθεντο τῇ ἀποφάσει διὰ τοὺς ὑστέρους λόγους· οἳ δὲ τῇ καταφάσει διὰ τοὺς προτέρους· οἳ δὲ μέσην ἐβάδισαν λέγοντες ὅτι, ἀναιρουμένου τοῦ πράγματος ὅσον πρὸς τὸ εἶναι ὅπερ ἔχει ἐν ἑαυτῷ καὶ ἐν ταῖς ἰδίαις αἰτίαις, ἀναιρεῖται ἡ περὶ αὐτοῦ ἐπιστήμη· ἀναιρουμένου δὲ ὅσον πρὸς τὸ εἶναι ὅπερ ἔχει ἐν ἑαυτῷ καὶ μένοντος τοῦ εἶναι ὅπερ ἔχει ἐν ταῖς ἑαυτοῦ αἰτίαις, οὐκ ἀναιρεῖται ἡ περὶ αὐτοῦ ἐπιστήμη· δύναται γὰρ τότε ἐπιστήμη αὐτοῦ εἶναι εἰ μὴ ἐκ τοῦ ἰδίου εἶναι, ἀλλ' ἐκ τῶν αἰτιῶν ἐκείνων· καὶ αὕτη ἡ δόξα, εἰ καὶ κοινοτέρα ἐστίν, ὅμως οὐκ ἔρρωται. Αἱ γὰρ αἰτίαι ἐκεῖναι ἢ αὐτάρκεις εἰσίν, ἢ οὐκ εἰσὶν ἱκαναί. Εἰ μὲν οὖν αὐτάρκεις εἰσὶ πρὸς τὸ ποιεῖν, δεῖ καὶ τὸ πρᾶγμα εἶναι, τιθεμένων ἐκείνων τῶν αἰτιῶν· ἀλλ' ὑπέκειτο τὸ πρᾶγμα φθείρεσθαι ἢ μὴ εἶναι, καὶ ἕποιτο ἂν τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι ἅμα, ὅπερ ἀδύνατον. Εἰ δὲ οὐκ εἰσὶν αὐτάρκεις, δι' αὐτῶν οὐ γινώσκεται τὸ ἀποτέλεσμα, διότι τὰ πράγματα, οὐ γινώσκονται διὰ τῶν τοιούτων αἰτιῶν, ἀλλὰ μᾶλλον διὰ τῶν καθ' αὑτὰς καὶ ἀμέσων, ὡς ἐν τῷ πρώτῳ τῶν Ὑστέρων λέγεται.

Διὰ τοῦτο βέλτιόν ἐστιν ἄλλως λέγειν, ὅτι περὶ τοῦ πράγματος διχῶς

ΙΩΑΝΝΙΝΑ 2006

δύναται εἶναι ἐπιστήμη· | ἑνὶ μὲν γὰρ τρόπῳ ἐστὶν ἐπιστήμη περὶ τοῦ f. 117v πράγματος, ᾗ γινώσκεται τὸ πρᾶγμα εἶναι καὶ τὰς ἰδιότητας αὐτοῦ καὶ τὰ πάθη ἐνυπάρχειν αὐτῷ· ἑτέρῳ δὲ τρόπῳ δυνατὸν ἔχειν ἐπιστήμην περὶ τοῦ πράγματος, ᾗ γινώσκεται τὸ πρᾶγμα ἐκ τίνων αἰτίων καὶ ποίων δύναται εἶναι, καὶ τίνα καὶ ποταπὰ πάθη δύνανται ἐνυπάρχειν αὐτῷ. Ἀναιρουμένου γοῦν τοῦ ἐπιστητοῦ, ἀναιρεῖται ἡ ἐπιστήμη κατὰ τὸν πρῶτον τρόπον λαμβανομένη· ἀλλ' ἀναιρουμένου τοῦ ἐπιστητοῦ, οὐκ ἀναιρεῖται ἡ ἐπιστήμη κατὰ τὸν δεύτερον τρόπον λαμβανομένη.

Ἐντεῦθεν οὖν δήλη καὶ ἡ πρὸς τὰ ἐπιχειρήματα λύσις. Ὁ γὰρ Φιλόσοφος λέγων ἐν τῷ γράμματι ἐπιστητοῦ μὴ ὄντος μὴ εἶναι ἐπιστήμην, καὶ ἀναιρεθέντος αὐτοῦ ἀναιρεῖσθαι τὴν ἐπιστήμην, νοεῖ τὴν ἁπλῶς ἀναίρεσιν τοῦ ἐπιστητοῦ ὅσον τε πρὸς τὸ νοητὸν εἶναι αὐτοῦ καὶ ὅσον πρὸς τὸ πραγματικὸν εἶναι. Καὶ ὅτι τὸ μὴ ὂν οὐκ ἔστιν ἐπίστασθαι, ἀληθές ἐστιν, ἐὰν νοῆται μὴ ὂν τὸ μηδενὶ τρόπῳ ὂν μήτε ἐν τῇ ψυχῇ, μήτε ἔξω ἐν τῷ πράγματι· ἀλλ' ὅπερ ἐστὶν ἐν τῇ ψυχῇ, τούτου δύναται εἶναι ἐπιστήμη ὅσον πρὸς τὸν δεύτερον τρόπον τῆς ἐπιστήμης. Καὶ ὅτι τῆς αἰτίας ἀναιρουμένης, ἀναιρεῖται τὸ ἀποτέλεσμα, ἀληθές ἐστιν ὅσον καθό ἐστιν αἰτία· τὸ δὲ ἐπιστητόν ἐστιν αἰτία τῆς ἐπιστήμης ὅσον πρὸς τὸ γίνεσθαι αὐτὴν τὴν ἐπιστήμην, ἀλλ' οὐχ ὅσον πρὸς τὸ εἶναι τῆς ἐπιστήμης. Ἢ καὶ ἄλλως· συγχωρῶ ὅτι, ἀναιρουμένης τῆς αἰτίας, καὶ τὰ λοιπά· ὅτι δὲ τὸ πρᾶγμά ἐστιν αἰτία τῆς ἐπιστήμης, καὶ τούτῳ συγχωρῶ, ἀλλὰ λέγω ὅτι, καθὸ μὲν ἔστιν ἔξω πραγματικῶς, ἐστὶν αἰτία τῆς ἐπιστήμης κατὰ τὸν πρῶτον τρόπον. Φθειρομένου γοῦν τούτου, φθείρεται καὶ ἡ ἐπιστήμη ἐκείνη. Ἀλλὰ κατὰ τὸ νοητὸν αὐτοῦ εἶναι ἐστὶν αἰτία τῆς ἐπιστήμης κατὰ τὸν δεύτερον τρόπον. Ὅθεν, φθειρομένου ἐν τῷ πραγματικῷ εἶναι, μένοντος δὲ ἐν τῷ νοητῷ αὐτοῦ εἶναι, δύναται μένειν καὶ ἡ περὶ αὐτοῦ ἐπιστήμη κατὰ τὸν δεύτερον τρόπον.

Πρὸς δὲ τοὺς λοιποὺς λόγους τοὺς εἰς τὴν ἀπόφασιν λέγω ὅτι περὶ τῶν μετεώρων δίδοται ἐπιστήμη, καὶ ἔτι περὶ τῶν ἐκλείψεων ἐστὶν ἐπιστήμη οὐ δι' ἧς ἐπιστάμεθα ἐκεῖνα εἶναι, τουτέστι κατὰ τὸν πρῶτον τρόπον, ἀλλὰ δι' ἧς ἐπι|στάμεθα ἐκ τίνων καὶ ποίων αἰτιῶν καὶ παθῶν f. 118 δύνανται γίνεσθαι, τουτέστι κατὰ τὸν δεύτερον τρόπον τῆς ἐπιστήμης. Πρὸς δὲ τὸν λόγον τὸν ἐπιχειροῦντα ἀπὸ τοῦ ὁρισμοῦ, ὅτι μὲν μένοντος τοῦ ὁρισμοῦ, μένει καὶ ἡ ἐπιστήμη, συγχωρῶ· ὅτι δὲ μένει ὁ αὐτὸς ὁρισμός, φθειρομένου τοῦ πράγματος, τοῦτο λέγω εἶναι ψεῦδος, διότι ἡ ἀπόδειξις τούτου οὐκ ἀληθής· ὃ γάρ φησιν ὁ Φιλόσοφος, ὅτι ὁ ὁρισμὸς οὐ λέγει εἶναι ἢ μὴ εἶναι τὸ πρᾶγμα, ταύτην ἔχει τὴν διάνοιαν, ὅτι ὁ ὁρισμὸς οὐκ ἔστι λόγος καταφατικὸς οὔτε ἀποφατικός· τὴν γὰρ θέσιν ὁ Φιλόσοφος διαιρεῖ ἐκεῖ εἰς ὑπόθεσιν καὶ ὁρισμόν, καὶ ὑπόθεσιν λέγει τὴν λέγουσαν εἶναι καὶ μὴ εἶναι, ἤγουν λόγον καταφατικὸν καὶ ἀποφατικόν, ὥστε

ὁρισμὸν λέγει εἶναι τὸν λέγοντα οὐ τὸ εἶναι ἢ μὴ εἶναι, τουτέστιν οὐ πρότασιν καταφάσκουσαν ἢ ἀποφάσκουσαν. Εἰ δὲ νοοῖτο ὅτι ὁ ὁρισμὸς οὐ λέγει τὸ εἶναι, τουτέστιν οὐκ ἔστιν ὂν ἀληθὲς ἔξω τῆς ψυχῆς, ψεῦδός ἐστιν, διότι ὁ ὁρισμὸς δίδοται περὶ τοῦ πράγματος ἀντὶ τοῦ ὑπαρκτικοῦ εἶναι τοῦ πράγματος· τὸ δὲ ἐν τῇ ψυχῇ εἶναι οὐκ ἔστι τὸ ὑπαρκτικὸν εἶναι τοῦ πράγματος, ἀλλὰ τὸ εἶναι πῇ. Καὶ τοῦτό φησιν ὁ Θεμίστιος ἐν τῇ ἐξηγήσει τοῦ προτέρου τῶν Ὑ σ τ έ ρ ω ν, ὅπου φησὶν ὅτι τὸ τί ἐστι τοῦ ὀνόματος καὶ τὸ τί ἐστι τοῦ πράγματος διαφέρουσιν, διότι τὸ μὲν τί τοῦ ὀνόματος ἀποδίδοται καὶ τοῖς οὖσι καὶ τοῖς μὴ οὖσιν· ἡ γὰρ χίμαιρα ἔχει τὸ τί τοῦ ὀνόματος· τὸ δὲ τί τοῦ πράγματος ὀφείλεται μόνοις τοῖς ἀληθῶς οὖσι καὶ ἔξω τῆς ψυχῆς ὑφεστῶσιν. Ὁ ἄρα ὁρισμὸς ὅς ἐστιν ὁ αὐτὸς τῷ τί ἐστι τοῦ πράγματος λέγει τὸ εἶναι τούτῳ τῷ τρόπῳ καθό ἐστιν ἀληθὲς πρᾶγμα ἔξω τῆς ψυχῆς ὑφεστώς.

Ἕκτον, ζητεῖται περὶ αὐτῆς τῆς τετάρτης ἰδιότητος, διατί οὐ λύει τὴν ἔνστασιν, ἣν ἐπήγαγεν ἀπὸ τῶν ἀναφορικῶν ἐκείνων ἅπερ οὐκ εἰσὶν ἅμα τῇ φύσει, οἷον τῆς ἐπιστήμης καὶ τοῦ ἐπιστητοῦ, καὶ τῆς αἰσθήσεως καὶ τοῦ αἰσθητοῦ· εἰ γὰρ ἡ ἔνστασις ὡς ἀληθὴς οὐ λέγεται, ἡ ἰδιότης ψευδής ἐστι καὶ μάτην τέθειται. Πρὸς ὃ δὴ ῥητέον, ὅτι ἡ ἔνστασις ἣν τίθησιν οὐκ ἔστιν εἰ μὴ διόρθωσις τῆς ἰδιότητος καὶ κανών τις πρὸς τὸ γινώσκεσθαι
f. 118ᵛ περὶ τίνων ἀναφορικῶν | νοεῖται αὕτη ἡ ἰδιότης· νοεῖται γὰρ περὶ ἐκείνων ἅπερ εἰσὶν ἀναφορικά, καὶ οὐ περὶ ἐκείνων ἅτινα λέγονται ἀναφορικῶς. Ὅθεν ἡ ἰδιότης οὕτω νοουμένη ἐστὶ καθολική τε καὶ γενική, καὶ ἐπειδὴ πολλὴ οἰκειότης ἐστὶ τῶν τε πρός τι λεγομένων καὶ τῶν πρός τι ὄντων κατὰ ἀλήθειαν, πρὸς τὸ ἔχειν τελείαν γνῶσιν ἑκατέρων γέγονε χρεία τεθῆναι ἰδιότητα περὶ τῶν ἀναφορικῶν τῶν πρός τι ὄντων καὶ ἔνστασιν μόνον ἀπὸ τῶν ἀναφορικῶν τῶν πρός τι λεγομένων, οἷς ἡ τοιαύτη ἰδιότης οὐχ ἁρμόττει.

Ἰστέον δὲ ὅτι ἐκεῖνα λέγονται κυρίως ἀναφορικὰ ὅσα καὶ ἄμφω λαμβάνονται ἐνεργείᾳ καὶ ἐν τῇ οὐσίᾳ ἑκατέρου ἐστὶ τὸ ἀναφέρεσθαι πρὸς τὸ ἕτερον. Ὅσα δὲ ἄμφω λαμβάνονται δυνάμει, ἢ θατέρου δυνάμει, τὸ δὲ λοιπὸν ἐνεργείᾳ, ταῦτα οὐκ εἰσὶν ἀναφορικὰ κυρίως εἰ μὴ κατὰ τὸ λέγεσθαι· δύναται γὰρ εἶναι τὸ ἐπιστητὸν καὶ αἰσθητὸν δυνάμει, ἀναιρουμένης τῆς ἐπιστήμης καὶ τῆς αἰσθήσεως καὶ ἐνεργείᾳ καὶ δυνάμει· οὐ γάρ ἐστιν ἐν τῇ οὐσίᾳ τοῦ αἰσθητοῦ καὶ ἐπιστητοῦ τὸ ἀναφέρεσθαι πρὸς τὴν ἐπιστήμην καὶ τὴν αἴσθησιν, ὥσπερ ἐν τῇ οὐσίᾳ τῆς αἰσθήσεως καὶ τῆς ἐπιστήμης ἐστὶ τὸ ἀναφέρεσθαι πρὸς τὸ αἰσθητὸν καὶ ἐπιστητόν. Εἰ γὰρ μὴ εἴη ζῷον οὔτε ἐνεργείᾳ οὔτε δυνάμει, οὐδὲ ἐπιστήμη ἂν εἴη καὶ αἴσθησις οὔτε δυνάμει οὔτε ἐνεργείᾳ. Δύναται μέντοι καὶ οὕτως εἶναι τὸ

---

6 πῇ sic codd. 17 οὐ λέγεται B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἐπιστητόν, οἷον ἡ ἐπίνοια τοῦ λίθου καὶ πολλῶν ἄλλων δυνάμει, καὶ τὸ αἰσθητὸν ὁμοίως δυνάμει, οἷον τὸ γλυκὺ καὶ πικρόν. Ταῦτα τοίνυν πάντα βούλεται καὶ ὁ Φιλόσοφος ἐν αὐτῷ τῷ γράμματι, τοῖς γε ἐπισκέπτεσθαι δυναμένοις.

## Leçon XIII.

### *ΑΝΑΓΝΩΣΙΣ ΤΡΙΣΚΑΙΔΕΚΑΤΗ.*

### Ἔχει δὲ ἀπορίαν.

Θεὶς τὸν ὁρισμὸν τῶν ἀναφορικῶν κατὰ τὸ λέγεσθαι, νῦν τίθησι τὸν ὁρισμὸν αὐτῶν κατὰ τὸ εἶναι. Ὁ μὲν οὖν πρῶτος ὁρισμὸς εἰς τὸν Πλάτωνα ἀναφέρεσθαι λέγεται, καὶ ἁρμόττει πᾶσι τοῖς πρός τι, ἀλλ' οὐκ ἀντιστρέφει· ἐπὶ πλέον γάρ ἐστι τῶν πρός τι. Ὁ δὲ δεύτερος, ὃν αὐτὸς μέλλει τιθέναι, πᾶσί τε ἕπεται καὶ μόνοις τοῖς πρός τι. Πρὸ δὲ τοῦ θεῖναι τὸν δεύτερον ὁρισμόν, κινεῖ ἔνστασιν πρὸς τὸν πρῶτον ἢ ἀπορίαν, ἥντινα οὐ δύναται λῦσαι ἐκ τοῦ προτέρου ὁρισμοῦ, | μᾶλλον μὲν οὖν ἡ ἀπορία f. 119
ἐκείνη ἐκ τοῦ προτέρου ὁρισμοῦ ἕπεται, καὶ οὕτω τίθησι τὸν ὁρισμὸν ἑαυτοῦ ἐξ οὗ λύεται ἡ ἀπορία. Πρῶτον τοίνυν, κινεῖ τὴν ἀπορίαν· δεύτερον, ἀναπτύσσει ταύτην· τρίτον, ἀναιρεῖ τὸν ὁρισμὸν τὸν πρῶτον καὶ τὸν δεύτερον τίθησιν· εἶτα παραβάλλει τοὺς ὁρισμοὺς καὶ δίδωσι τὴν διαφορὰν αὐτῶν· εἶτα ἐπάγει πόρισμα ἐν τῷ· „Φανερὸν οὖν ἐκ τούτων“· εἶτα λύει τὸ ἄτοπον ἐξ αὐτοῦ τοῦ πορίσματος, ὅπερ ἀνωτέρω παρῆκεν ἐν τῇ ζητήσει· εἶτα ἐξαιτιᾶται αὐτὸν ἁπτόμενον τῆς δυσχερείας τῶν ἀναφορικῶν.

Φησὶ τοίνυν πρῶτον, ὅτι ἔχει ἀπορίαν τινὰ πότερον οὐδεμία οὐσία λέγεται τῶν πρός τι καθάπερ καὶ δοκεῖ, ἢ ἐνδέχεταί τινας τῶν δευτέρων οὐσιῶν, τουτέστι τὰς μερικὰς δευτέρας οὐσίας, εἶναι τῶν πρός τι. Διαιρεῖ τοίνυν τὰς οὐσίας εἴς τε τὰς πρώτας αἵ εἰσιν ὅλαι, οἷον τὸν τινὰ ἄνθρωπον καὶ τὸν τινὰ βοῦν, καὶ εἰς τὰς πρώτας οὐσίας αἵ εἰσι μέρη, οἷον τὴν τινὰ χεῖρα καὶ τὴν τινὰ κεφαλήν· καὶ εἰς τὰς δευτέρας οὐσίας αἵ εἰσιν ὅλαι, οἷον ἄνθρωπον, βοῦν· καὶ εἰς τὰς δευτέρας οὐσίας αἵ εἰσι μέρη, οἷον τὴν κεφαλὴν καὶ τὴν χεῖρα· καὶ δείκνυσιν ὅτι ἐπὶ τῶν πρώτων οὐσιῶν ἀληθές ἐστι τὸ μηδεμίαν αὐτῶν πρός τι λέγεσθαι, καὶ δείκνυσι τοῦτο ἐπαγωγικῶς. Οὔτε γάρ, φησίν, αἱ πρῶται ὅλαι, οὔτε αἱ πρῶται αἱ ὡς μέρη, ὥστε οὐδὲ αἱ πρῶται ὅλως. Εἶτα λέγει, ὅτι καὶ αἱ δεύτεραι οὐσίαι αἵ εἰσιν ὅλαι οὐ λέγονται πρός τι, οἷον ὁ ἄνθρωπος οὐ λέγεται τινὸς ἄνθρωπος. Ἐπὶ μὲν οὖν τῶν τοιούτων, ἤγουν ἐπὶ τῶν τριῶν σημαινομένων τῆς οὐσίας, φανερόν ἐστι τὸ εἰρημένον, ὅτι οὐδεμία οὐσία τῶν πρός

---

34 *ὁ ἄνθρωπος* om B



Εργ. Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τι ἐστίν. Ἐπί τινων δὲ τῶν δευτέρων οὐσιῶν, αἵ εἰσι δηλονότι μέρη, ἡ ἀμφισβήτησίς ἐστιν πότερον πρός τι λέγονται αὗται, ἢ μή. Κατὰ γὰρ τὴν προειρημένην ὑπογραφὴν τῶν πρός τι, δόξειεν ἂν τὰς τοιαύτας εἶναι πρός τι· ἡ γὰρ κεφαλὴ καὶ ἡ χεὶρ τινὸς κεφαλὴ λέγεται, καὶ εἰσὶν αὗται δευτέραι οὐσίαι ὡς μέρη. Ὅσα δὲ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεσθαι, εἰσί πρός τι· αἱ τοιαῦται ἄρα οὐσίαι εἰσὶ πρός τι, ὥστε καὶ συμβεβηκότα εἰσίν, εἴ γε τὰ πρός τι συμβεβηκότα. Τούτῳ δὲ πάλιν ἕπεται καὶ τὰς f. 119v δευτέρας οὐσίας τὰς ὅλας εἶναι συμβεβηκότα. | Εἰ γὰρ τὰ μέρη συμβεβηκότα, καὶ τὸ ὅλον ἐξ ἀνάγκης· ἐκ γὰρ τῶν μερῶν τὸ ὅλον συνέστηκεν. Ὁ τοιοῦτος δὲ τῶν ἀτόπων ἑσμὸς ἐκ τοῦ ὁρισμοῦ τούτου ἀκολουθεῖ· διὰ γὰρ τὸ τὴν κεφαλὴν καὶ τὴν χεῖρα αὐτὸ ὅπερ ἐστὶν ἑτέρου εἶναι λέγεσθαι, τοῦτο δὲ εἶναι τὸν λόγον τῶν πρός τι, συνάγεται τὴν κεφαλὴν καὶ τὴν χεῖρα εἶναι τῶν πρός τι. Ἐπεὶ δὲ ἡ χεὶρ καὶ ἡ κεφαλὴ πρός τι ὄντα οὐσίαι εἰσί, συνάγεται τὴν οὐσίαν εἶναι πρός τι· καὶ ἐπεὶ ἡ οὐσία πρός τί ἐστι, τὰ δὲ πρός τι συμβεβηκός, ἕπεται τὴν οὐσίαν εἶναι συμβεβηκός· καὶ ἐπεὶ τοῦ αὐτοῦ λόγου τὰ μέρη καὶ τὸ ὅλον εἶναι δεῖ, εἰ τὰ μέρη τῆς οὐσίας εἰσὶ συμβεβηκότα, καὶ τὴν ὅλην οὐσίαν δεῖ εἶναι συμβεβηκός· ὥστε τούτων τῶν ἀτοπημάτων αἰτία ἡ τῶν πρός τι ὑπογραφὴ κακῶς ἀποδεδομένη.

## Εἰ μὲν οὖν.

Τότε λέγει, ὅτι κρατούσης ταύτης τῆς ὑπογραφῆς, χαλεπὸν ἢ ἀδύνατόν ἐστι λέγειν οὐδεμίαν οὐσίαν εἶναι τῶν πρός τι, τουτέστιν ἀδύνατόν ἐστι λύειν τὴν ἀπορίαν. Ἂν δὲ ἡ ὑπογραφὴ ἐκείνη ὡς μὴ ἱκανῶς εἰρημένη παραλειφθῇ, δοθείη δὲ ἑτέρα, ἡ λέγουσα πρός τι εἶναι οἷς τὸ εἶναι ταὐτόν ἐστι τῷ πρός τί πως ἔχειν, τουτέστιν ὧν τὸ εἶναι καὶ ἡ οὐσία ἐν τῇ πρὸς ἕτερον συνέστηκεν ἀναφορᾷ, ἴσως ἂν ῥηθείη τι πρὸς τὴν ἀπορίαν· οὐ γὰρ σφόδρα θαρρούντως δεῖ περὶ τῶν τοιούτων ἀποφαίνεσθαι. Τὴν μὲν οὖν λύσιν τὴν ἀπὸ τῆς ὑπογραφῆς ταύτης ἑπομένην ἀναβάλλεται· αὐτίκα δὲ παραβάλλει τοὺς ὁρισμούς, καὶ φησὶν ὅτι ὁ ὁρισμὸς καὶ πᾶσιν ἀκολουθεῖν καὶ ἀντιστρέφειν ὀφείλει. Ὁ τοίνυν πρῶτος ὁρισμὸς πᾶσι μὲν ἕπεται τοῖς πρός τι, ἀλλ᾽ οὐκ ἀντιστρέφει· τοῖς γὰρ ἀναφορικοῖς οὐκ ἔστι ταὐτὸν τό τε ἀναφορικῶς εἶναι καὶ τὸ αὐτὰ ἅπερ ἐστὶν ἑτέρων εἶναι λέγεσθαι, ὥσπερ ἀνθρώπῳ ταὐτόν ἐστι τὸ εἶναι ἀνθρώπῳ καὶ τὸ ζῴῳ λογικῷ θνητῷ εἶναι· διὸ καὶ ἀντιστρέφει. Ἀλλ᾽ ὁ δεύτερος ὁρισμὸς ἀντιστρέφει· τοῖς γὰρ ἀναφορικοῖς ταὐτόν ἐστι τὸ εἶναι ἀναφορικοῖς καὶ τὸ πρός τί πως ἔχειν· ἢ καὶ ἄλλως· ὁ μὲν πρῶτός, φησί, βελτίων ἐστὶν ὡς κοινότερος· ὁ δὲ δεύτερός ἐστι βελτίων, ὅτι δίδοται διὰ τοῦ εἶναι, τοῦ πρώτου δεδομένου διὰ τοῦ λέγεσθαι.

29 μὲν om BC 32 τῷ εἶναι A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Ἐκ τούτων τοίνυν. f. 120

Ἐνταῦθα τίθησι πόρισμα ἐκ τοῦ δευτέρου ὁρισμοῦ. Κατὰ γὰρ τὸν δεύτερον ὁρισμόν, φησίν, ἕπεται ὅτι τὸ εἶναι καὶ ἡ γνῶσις τοῦ ἑνὸς τῶν ἀναφορικῶν ἤρτηται τοῦ λοιποῦ, ὥστε εἴ τις τὸ ἕτερον τῶν ἀναφορικῶν ὡρισμένως οἶδε, καὶ θάτερον ὡρισμένως εἴσεται. Καὶ τοῦτο δείκνυσι διχῶς· πρῶτον, λόγῳ, εἶτα ἐπαγωγῇ. Φησὶ γὰρ ὅτι τὸ εἰρημένον φανερόν ἐστιν ἐξ αὐτοῦ τοῦ λόγου τῶν ἀναφορικῶν, καὶ ἡ ἀπόδειξίς ἐστι τοιαύτη. Τῶν ἀναφορικῶν ταὐτόν ἐστι τὸ εἶναι τῷ πρός τί πως ἔχειν· τὰ δὲ πάντα ἅμα γινώσκονται, ὥστε τῶν ἀναφορικῶν ἅμα γινώσκεται καὶ τὸ εἶναι καὶ τὸ πρός τί πως ἔχειν· ἅμα ἄρα γινώσκεται καὶ τὸ εἶναι καὶ τὸ πρός τι πῶς ἔχειν· ἅμα ἄρα γινώσκεταί τι, ὅτι πρός τι ἐστίν, καὶ γινώσκεται πρὸς ὅ ποτε ἔχει. Εἰ γὰρ τὸ ἀντικείμενόν ἐστιν, οὐδὲ τὸ πρῶτον ἔσται ἀληθές· εἰ γὰρ μὴ οἶδεν ὅλως πρὸς ὅ ποτε ἔχει τοῦτο, οὐδ' εἰ ὅλως ἔχον πρός τί πως εἴσεται. Τὸ δ' αὐτὸ δείκνυσι καὶ ἐπαγωγῇ, οἷον ἐπὶ τοῦ διπλασίου καὶ τοῦ καλλίονος. Εἰ γὰρ οἶδέ τις τὰ τέσσαρα ἀφωρισμένως, ὅτι διπλάσια εἰσιν, εὐθὺς οἶδεν ἀφωρισμένως καὶ ὧν εἰσι διπλάσια ἤγουν τῶν δύο· εἰ γὰρ δοθείη τὸ ἀντικείμενον, δηλονότι ὅτι οἶδέ τις τὸ διπλάσιον ἀγνοῶν τὸ ἥμισυ αὐτοῦ, ἐπειδὴ τὸ εἶναι τοῦ διπλασίου οὐκ ἔστιν εἰ μὴ ἐν τῇ πρὸς τὸ ἥμισυ ἀναφορᾷ, ἀγνοοίη ἂν καὶ τὸ ἥμισυ ὁ τὸ διπλάσιον ἀγνοῶν, καὶ ἐπίσταιτο ἂν καὶ ἀγνοοίη τὸ αὐτό, ὅπερ ἐστὶν ἀδύνατον· ὥστε καὶ τὸ πρῶτον ἀδύνατον. Ὡσαύτως δὲ καὶ περὶ τοῦ καλλίονος ἀποδείκνυσιν. Οὐδὲ δυνάμεθα λέγειν, φησίν, ὅτι ἀορίστως εἰδέναι δυνάμεθα ὅτι διπλάσιόν ἐστιν, ἢ κάλλιον· τοῦτο γὰρ ὑπόληψίς ἐστι, τουτέστιν ἀμυδρὰ καὶ ἀβέβαιος καὶ ἄκριτος γνῶσις, ἀλλ' οὐκ ἐπιστήμη· οὐ γὰρ ἀκριβῶς εἴσεται, ὅτι τοῦτό ἐστι χείρονος κάλλιον, μὴ εἰδὼς ὅτου ἐστὶ κάλλιον. Εἰ γὰρ μὴ εἰδείη ὅτου ἐστὶ κάλλιον, ὥστε εἰδέναι αὐτὸ ἀφωρισμένως κάλλιον, ἴσως αὐτὸς μὲν ὑπολήψεται εἶναι τοῦτο κάλλιον, ἔσται δὲ αὐτὸ πάντων χείριστον, καὶ οὐδὲν αὐτοῦ ἔσται χεῖρον. Εἶτα συμπεραίνει τὸ πόρισμα ἐν τῷ· „Ὥστε φανερόν."

Τὴν δέ γε κεφαλήν.

Θεὶς καὶ κατασκευάσας τὸ πόρισμα, ἀπὸ τούτου τίθησι τὴν λύσιν τῆς ἀπορίας ἐκείνης. Λέγει γὰρ οὕτως, ὅτι τῶν πρός τι εἴ τις οἶδε | τὸ ἕτερον ἀφωρισμένως, καὶ τὸ πρὸς ὃ τοῦτο λέγεται ἀφωρισμένως εἴσεται, οἷον εἴ τις οἶδε τὰ τέσσαρα ὄντα διπλάσια ἀφωρισμένως, καὶ ὧν εἰσι διπλάσια ἀφωρισμένως εἴσεται, ὅτι δηλονότι τῶν δύο εἰσὶ διπλάσια. Ἀλλὰ τὴν κεφαλὴν καὶ τὴν χεῖρα καὶ ἕκαστον τῶν τοιούτων, ἅ εἰσιν οὐσίαι ὡς μέρη, αὐτὸ μὲν ὅπερ ἐστὶν ὡρισμένως ἔστιν εἰδέναι, οἷον ὅτι χείρ, ἢ

(f. 120v begins at "| τὸ ἕτερον")

19 *ἀγνοοίη* sic codd.

Ε.Υ.Δ της Χ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

κεφαλή· πρὸς ὃ δὲ λέγεται ὡς μέρος, οὐκ ἔστιν ἀνάγκη εἰδέναι ἀφωρισμένως· ἂν γὰρ ὁρῶμεν χεῖρα ἐρριμμένην οὕτως ἀποκοπεῖσαν, ὅτι μὲν χείρ ἐστιν ἴσμεν, τίνος δέ ἐστι χεὶρ οὐκ ἐξ ἀνάγκης ἴσμεν· ὥστε τὰ τοιαῦτα ἤγουν αἱ ὡς μέρη οὐσίαι οὐκ εἰσὶ πρός τι. Τούτου τοίνυν τοῦ συλλογισμοῦ τὴν μὲν μείζονα ἔλαβεν ἐν τῷ συμπεράσματι τοῦ πορίσματος· τὴν δὲ ἐλάττω τέθεικεν ὕστερον ἐν τῷ γράμματι. Εἰ τοίνυν λαμβάνεται ἡ λύσις αὕτη ἀπὸ τοῦ πορίσματος, τὸ δὲ πόρισμα ἐκ τοῦ ὁρισμοῦ τοῦ δευτέρου, ὥστε καὶ ἡ λύσις ἐκ τοῦ ὁρισμοῦ τοῦ δευτέρου, διὰ τοῦτο εἶπεν, ὅτι κατὰ τὸν δεύτερον ὁρισμὸν ἴσως ἂν ῥηθείη τι πρὸς τὴν ἀπορίαν. Εἶτα συμπεραίνει καθόλου τὴν λύσιν τῆς ἀπορίας λέγων, ὅτι εἰ δὲ μή ἐστι ταῦτα τῶν πρός τι (εἴρηται δὲ ὅτι ἐπὶ τῶν ἄλλων οὐσιῶν φανερόν ἐστιν, ὅτι οὐκ εἰσὶ τῶν πρός τι, ἀλλὰ περὶ τούτων μόνων ἦν ἡ ἀμφισβήτησις, καὶ ταῦτα δέδεικται ὅτι οὐκ εἰσίν) ἀληθὲς ἂν εἴη λέγειν, ὅτι οὐδεμία οὐσία ἐστὶ τῶν πρός τι· ὥστε ἡ ἀπορία ἡ ἐκ τοῦ προτέρου ὁρισμοῦ κινηθεῖσα λέλυται μὲν ἐκ τοῦ δευτέρου, ἅμα δὲ καὶ τὸν πρότερον ὁρισμὸν ἐλέγξασα, τὸν δεύτερον ἀνηγόρευσεν.

### Ἴσως δέ.

Ἐπὶ πᾶσιν ἐξαιτιᾶται ἢ παραιτεῖται, λέγων ὅτι χαλεπόν ἐστι περὶ τῶν τοιούτων ἀποφαίνεσθαι θαρρούντως διὰ τὴν αὐτῶν δυσχέρειαν μὴ πολλάκις ἐπεσκεμμένους, ἀλλὰ τὸ διαπορεῖν περὶ ἑκάστου, κἂν μὴ μέλλοι τις διὰ τὴν τῆς ὕλης δυσχέρειαν θαρρούντως ἀποφαίνεσθαι τἀληθές, οὐκ ἄχρηστον οὐδὲ ἀλυσιτελές ἐστιν· ἡ γὰρ ἀπορία εὐπορίας ἐστὶν ἀρχή, καὶ ὁ ἀπορῶν ἐγγύτερόν ἐστι τοῦ ὁρᾶν τἀληθές, ὡς ἐν τοῖς Ἐλέγχοις λέ-
f. 121 γεται, τοῦ μηδὲ ἀποροῦντος ὅλως μηδὲ ζητοῦντος | εὑρεῖν καὶ μαθεῖν· καὶ ὡς ἐν τοῖς Τοπικοῖς λέγεται, ἰσχυροὺς ἐπ' ἀμφότερα ποιεῖ τὸ περὶ ἑκάστου θεωρεῖν τί τἀληθὲς καὶ τί τὸ ψεῦδος, διὰ τούτου δὲ καὶ ἡμᾶς ἐρεθίζει πρὸς τὴν περὶ αὐτῶν ζήτησιν ὁ Φιλόσοφος. Εἰ γὰρ περὶ πάντων αὐτὸς ἀπεφήνατο, οὐκ ἂν ἡμῖν ὑπελέλειπτο ζητεῖν περὶ ὁτουοῦν οὐδ' ἠθέλησεν ἡμᾶς ὥσπερ ἑτεροκινήτους εἶναι παντάπασιν, ἀρκουμένους τῷ τὸν Φιλόσοφον ἢ τὸν δεῖνα φθάσαντα περὶ ἑκάστων ἱκανῶς εἰπεῖν.

### [Ζητήματα.]

Περὶ τοῦτο τὸ μέρος ζητοῦνται· πρῶτον, περὶ τῆς ἀπορίας, διατί μᾶλλον ἐκίνησε ταύτην ἐπὶ τῆς οὐσίας ἢ ἐπὶ τῆς ποσότητος καὶ ποιότητος. Ὥσπερ γὰρ ἄτοπόν ἐστι τὴν οὐσίαν εἶναι πρός τι, οὕτως ἐστὶν ἄτοπον καὶ τὴν ποσότητα καὶ ποιότητα, διότι, ὥς φησιν ὁ Φιλόσοφος ἐν τῷ τρίτῳ τῆς Φυσικῆς, τρία εἴδη εἰσὶ τοῦ ὄντος· ἡ οὐσία, ἡ ποσότης καὶ ἡ ποιότης·

---

12 μόνον BC

Ε.Υ.Δ τηε Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006